ΑΝΘΟΛΟΓΙΟΝ (Β) ΠΑΤ.
Φακ 1.3

| Δεκέμβριος | Ιανουάριος | Φεβρουάριος | Μάρτιος Γεν. | βαθμός | Απρίλιος | Μάϊος |
|---|---|---|---|---|---|---|
| 6/16 | | 6ι 8γ. | 6ι | 7γ. 6υ. | | |
| | | 9ι 9γ. | 8ι | 8γ. 8υ. | | |
| | | 9ι 7γ | 7ι | 7γ. 6υ. | | |
| 7/18 | | 6ι 7γ | 6ι | 6γ. 6υ. | | |
| | | 7ι | 7ι. | 6γ. 8υ. | | |
| | 6ι 5γ. 4υ | 7ι 7γ | 7ι | 6γ. 6υ. | | |
| | | 5ι | | | | |
| | | 6ι | | | | |
| | | 8ι. | | | | |
| [illegible] | 5ι 2γ | 6ι | 6ι | 5γ. 7υ. | | |
| | | 6ι | | | | |
| | 6ι 6υ | 5ι 9γ. | 6ι | 8γ. 6υ. | | |
| | | 8ι | | | | |
| 6/10 | 6ι 5γ. 5υ | 7ι 7γ. | 7ι | 6γ. 6υ. | | |
| | | 7ι | | | | |
| | 8γ. 8ι 8υ. | 9ι 10γ | 9ι | 9γ. 10υ. | | |
| 5/9 | 6ι 4γ. 6υ. | 6ι 6γ | 6ι | 5γ. 6υ. | | |
| 7/11 7/20 | 6ι 6γ. 5υ. | 8ι 6γ. | 7ι | 6γ. 5υ. | | |
| | 5γ. 5ι | 7ι | 6ι | 5γ. 6υ. | | |
| | 6γ. 6ι. | 10ι 10γ. | 9ι | 9γ. 10υ. | | |
| 1/13 | 6ι 6γ | 9ι. | 8ι | 6γ. 9υ. | | |
| 5/13 | 4γ. 5ι 6υ | 8ι 10γ. | 7ι | 8γ. 6υ. | | |
| [illegible] | | 6ι | | | | |
| | 5ι 3γ | 8ι 9γ. | 7ι | 6γ. 6υ. | | |
| 1/20 | 5ι 2γ. | 7ι | 6ι | 3γ. 6υ. | | |
| [illegible] | 6γ 6υ 5γ. | 6ι 7γ. | 6ι. | 6γ. 6υ. | | |
| 6/13 | 6ι 6υ 6γ | 6ι 6γ | 6ι | 6γ. 6υ. | | |
| | 5ι | 7ι 6γ. | 6ι | 6γ. 6υ. | | |
| | | [illegible] | 7ι | [illegible] | | |

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Νέον Ἀνθολόγιον Πληρέστατον τε καί ἀκριβέστατον εἰς τό τάς νυχθη-
μέρους κανονικάς ὥρας τε, καί δεήσεις ἀναγινώσκειν, συντεθέν καί συλλε-
χθέν, κατά τήν τάξιν τοῦ παλαιοῦ καί καθολικοῦ τυπικοῦ τῆς παραδόσε-
ως τῶν ἁγίων πατέρων, τοῦ τε ἁγίου Σάββα, καί τοῦ Στουδίτου καί τό πλεῖστον
τοῦ ἁγίου ὄρους, οὐ μήν δέ ἀλλά καί μέρος τῆς παραδόσεως τοῦ ὁσιωτάτου
πατρός ἡμῶν Ἰωσήφ τῆς μονῆς τοῦ ἁγίου Νικολάου τῶν Κασούλων — Ἐτυπώθη
ἐν Ῥώμῃ αφϟη΄. Ἐκ τῆς Βατικανῆς Τυπογραφίας. — 12ον, φ. 36, σ. φλζ΄

Τέλος σύν Θεῷ ἁγίῳ τῶν δεσποτικῶν, καί θεομητορικῶν ἑορτῶν,
καί τῶν ἑορταζομένων ἁγίων, τῶν περιεχομένων ἐν τοῖς δώδεκα μησί τοῦ ἐνιαυ-
τοῦ, κατά τάξιν τοῦ παλαιοῦ καθολικοῦ τυπικοῦ τοῦ ἁγίου Σάββα, καί τοῦ
Στουδίτου τοῦ τε ἁγίου ὄρους. καί τοῦ ὁσίου πατρός ἡμῶν Νικολάου τῶν Κα-
σούλων. ἔτι δέ καί ἁπάσης ἀναγκαίας ἀκολουθίας τοῦ νέου ἀνθολογίου.
συντεθέντος, καί συλλεχθέντος. ὑπό ἀντωνίου τοῦ ἀρκούδου. τοῦ τῆς Σωλεν-
τούς πρωτοπαπᾶ, μηνί Μαΐῳ. ἔτει αφϟη΄. οἱ τοίνυν ἀναγινώσκοντες εὔχεσθε
ὑπέρ αὐτοῦ. εἰ δ' ἔτι σφαλερόν εἴη ἐπανορθώσατε. χαλκογράφων γάρ πάθος
τό ἁμαρτάνειν.

<u>Τῷ Παναγιωτάτῳ καί Μακαριωτάτῳ ἐν Χριστῷ πατρί καί Κυρίῳ ἡμῶν Κυρίῳ.</u>
<u>Κλήμεντι Πάπᾳ ὀγδόῳ ἄκρῳ ἀρχιερεῖ.</u>

Ἀκριβέστατοι μέν οἱ τῆς ἁγίας ἀνατολικῆς ἐκκλησίας θεοφόροι πατέρες τήν
ἐν ἧ κούσαν κατά τό εἰωθός εἰς τό θεῖον θρησκείαν τάς νυχθημέρους ἱεράς
δεήσεις καί κανονικάς τῷ Θεῷ ἀποδοθησομένας καί ἀναγνωσθησομένας
ὥρας, τοσοῦτον δέ διακεχυμένας τε καί ἐκτεταμένας τάς ἀκολουθίας συν-
τάξασθαι ἔδοξαν, μακαριώτατε πάτερ, ὥστε εἴκοσι βίβλοις αὐτάς που
συνέχεσθαι· τοῖς δώδεκα δηλαδή Μηνολογίοις, τῷ ψαλτηρίῳ, τῷ ὡρολογίῳ,
τῇ Παρακλητικῇ, τῇ ἀναστασίμῳ Ὀκτωήχῳ, τῷ Πεντηκοσταρίῳ, τῷ Τριῳ-
δίῳ, τῷ Στιχεραρίῳ καί τῷ Τυπικῷ. Ὅθεν τούς μέντοι τῶν Γραικῶν πρεσβυ-
τέρους, τε καί μοναχούς, τούς τάς καθημερινάς ἀκολουθίας ἀναγινώ-
σκειν ὀφειλομένους, ὁδοιποροῦντας καί μακράν ἀπόντας μεθ' ἑαυτῶν
οὐχ οἷόν τε ἦν τοσαῦτα βιβλία βαστάζειν, οὐδέ τούς νόσῳ συσχεθέντας
ἤ δι' ἄλλην τινά αἰτίαν ἐν τῷ χορῷ μηδαμ[redacted]ς παρεῖναι δυναμένους
αὐτά διελίσσειν. Πρός δέ τούτοις οὐ μόνον οἱ πλεῖστοι αὐτῶν ἐνδεεῖ. τοιού-
του πλήθους βίβλων οὐκ εὐποροῦνται, καί διά τοῦτο ἄλλοτε μέν

οὐκ ὀρθῶς τά καθήκοντα ἀποτελεῖν, ἄλλοτε δέ καί παντελῶς τήν ὑμνῳδί-
αν τε καί ἀκολουθίαν ἅπασαν καταλιπεῖν ἀναγκάζονται, χωρίς μιᾶς τῆς
τοῦ ὡρολογίου, ὅ παρ' ἡμῖν ὡς καθημερινόν ἐγχειρίδιον ἐστι καί εὐχερῶς
περιφέρεται· ὥστε πρό πέντε καί δέκα ἐτῶν μιᾷ γνώμῃ καί βουλήματι τῶν
λαμπροτάτων καί αἰδεσιμωτάτων κυρίων τῆς ἁγίας ῥωμαϊκῆς ἐκκλησί-
ας καρδινάλεων ἐπί τῇ τῶν Γραικῶν ἐπανορθώσει καθισταμένων τῶν αὐ-
τοῦ συγκοινωνῶν, ὁ λαμπρότατος καί αἰδεσιμώτατος Ἰούλιος Ἀντώνιος
Σαντόριος, τότε μέν πρεσβύτης καρδινάλις τῆς τοῦ ἁγίου Βαρθολομαί-
ου ἐν Νήσῳ ἐπιγραφῆς, νῦν δέ Πραινεστίνης ἐπίσκοπος, τῆς ἁγίας Σεβερινῆς
λεγόμενος, καί τῆς ἁγιωσύνης σου μέγιστος ἐξομολογητής, ὁ τοῦ τῶν Γραι-
κῶν γένους καί τῶν τοῦ ἁγίου μεγάλου Βασιλείου μοναχῶν ὑπερασπι-
στής, προσέταξε καί ἰδίας με διεκέλευσε δι' ὁδοιπόρους τε καί κεκω-
λυμένους εἴτε μοναχούς, εἴτε ἄλλους κοσμικούς κληρικούς τούς ὑπό
τήν τάξιν τῶν Γραικῶν ὄντας, τάς νυχθημέρους θείας ἀκολουθίας καί
κανονικάς δεήσεις ἐκ τούτων τῶν βιβλίων ἀνθολόγιον συντόμως συλλέξα-
σθαι, ὥσπερ καί οἱ ἀποστολικοί καίπερ ἀτελές τό ἀνθολόγιον ἔχουσι.–
Τοῦτο μέν οὖν αὐτό καί τισιν εὐσεβέσι πρεσβυτέροις τοῖς ἐν Σαλεντί-
ᾳ οἰκοῦσιν ἐπιτήδειόν τε καί ἀναγκαῖον ἔδοξεν. Ὅθεν Πέτρος ὁ Κοδέ-
ρος, ὁ τοῦ Ὑδροῦντος ἀρχιεπίσκοπος, τήν τῆς αὐτοῦ διοικήσεως ἐπί τούτῳ
σύνοδον συναθροίσας, διακοσίων Γραικῶν ἤδη πρεσβυτέρων συμπαρόν-
των, ἐψηφίσατο καί προείλετο δεῖν ἐκ τῶν τῆς θείας γραφῆς βιβλίων
ἀνθολόγιον, τό τάς ἀναγκαίας πάσας ἀκολουθίας συνέχον, συνταχθῆναι·
καί ταύτης μέν συντάξεως ἔργον ἐμοί ὑπ' αὐτῆς τῆς συνόδου, ὡς καί πρό-
τερον παρά τοῦ προειρημένου λαμπροτάτου καί αἰδεσιμωτάτου
κυρίου Ἰουλίου Ἀντωνίου καρδινάλεως, τῆς ἁγίας Σεβερινῆς ὑπερασπι-
στοῦ, προσετάχθη. Καί πρῶτον μέν αὐτό, συμβουλῇ τε καί βοηθείᾳ
σωφρόνων καί ἀγαθῶν πρεσβυτέρων, ἡδέως ἐδεξάμην καί σπουδαίας
ἐπεχειρησάμην. Ἔπειτα δέ πρός τό διαπράξασθαι καί ἐπιτελεῖν ὁ
ῥηθείς Ἰούλιος Ἀντώνιος, καρδινάλις τῆς ἁγίας Σεβερινῆς ὑπερασπιστής,
πρό ἑπτά ἐτῶν ἐπανελθόντα με εἰς Ῥώμην προσιδών μάλα προετρέψατο,
καίπερ δὴ συνεχῶς καί παρακληθέντα με ὑπό τοῦ κυρίου Μαρκέλου Ἀκε-
ρουΐβου νῦν δέ καί ἀρχιεπισκόπου τοῦ Ὑδροῦντος. Τοιγαροῦν ἤδη ποτέ
μετά τοσούτους μόχθους τε καί πόνους δεκατεσσάρων ἐτῶν, σύν θεῷ,
οὕτινος εἰς τιμήν τε καί δόξαν προθύμως τοῦτο τό ἔργον προσεδεξά-
μην, οὕτω καί τέλος ἐπέθηκα, τήν βραχύτητα τῶν δεομένων καλῶς
κατά τούς τῶν θείων παλαιῶν πατέρων κανόνας τε καί θεσμούς, κατά
δύναμιν μίξας. Τοῦτο μέν οὖν τό ἀνθολόγιον συνέχει τά τοῦ παλαιοῦ
τυπικοῦ καθολικά κεφάλαια, τό ψαλτήριον μετά τῶν ᾠδῶν κατά
τούς ἑβδομήκοντα τῆς νέας διορθώσεως, τό ὡρολόγιον, τήν τῆς ἑβδομάδος
ἀκολουθίαν, ψαλλομένην ἀντί τῆς Παρακλητικῆς, τήν ἀναστάσιμον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὀκτώηχον μετά τῶν ἕνδεκα ἑωθινῶν εὐαγγελίων τε καί ἐξαποστειλαρίων ἀ
ναστασίμων, Πεντηκοστάριον μετά τῶν Τριῳδίων ἐν τοῖς ἀποδείπνοις ψαλλομέ
νων· τήν τοῦ ἁγίου σώματος καί αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κ
τήν τῶν κοιμηθέντων ἀκολουθίαν, τά τῶν κοινῶν ἁγίων στιχηρά, δόξας, καθί
σματα καί κανόνας, καί τά αὐτῶν ἴδια συναξάρια, ὧν τάς τελετάς ἑορτάζ
μεν· τάς τοῦ κυρίου τῆς τε ὑπεραγίας Θεοτόκου Μαρίας, τέλος δέ καί πάν
των τῶν ἄλλων ἐπισήμων ἁγίων τοῦ ἐνιαυτοῦ ὁλοτελεῖς ἀκολουθίας, ἀντί
τῶν ἰδίων κανόνων τῶν ἁπλῶν καί οὐχ ἑορταζομένων ἁγίων τά κοινά συμ
φωνοῦντα προσηρμόσαμεν· ἁπαξαπλῶς δέ συνέχει οὐσιωδῶς πάσας τ
ἐν τοῖς εἴκοσι βίβλοις συνεχομένας ὅλου τοῦ ἐνιαυτοῦ ἀκολουθίας.–
Τοιγαροῦν τοσούτων ἐτῶν διηνεκῶς μετά πολλοῦ μόχθου καί πόνου ἀτ
γασάμενος καί εἰς τό τοιούτου δράματος ποθεινότατον τέλος, τῇ τα
Θεοῦ χάριτι, παραγενόμενος, μηδέν περί πλείονος ἡγησάμην τοῦ πρός τή
ἱεράν ταύτην πόλιν ἀφικέσθαι καί τῷ προειρημένῳ λαμπροτάτῳ κ
ρίῳ καρδινάλει τῆς ἁγίας Σεβερινῆς αὐτό προσφέρειν, ἵνα ἤδη τε καί ἀ
γνώσῃ αὐτό, τῇ τε ἁγιωσύνῃ σου ἐπιδείξῃ. Ἀλλ' αὐτός μέν ὡν ἀκριβέστατο
πρῶτον μέν ἤθελεν ἀναγινώσκεσθαι καί ἐξετάζεσθαι ὑπό δύο ἐπισκόπων
Γραικῶν καί ἄλλων τῆς τῶν Γραικῶν διαλέκτου τε καί θρησκείας ἐμπείρο
ἔπειτα δέ καί αὐτός ἐπιμελῶς ἐπισκεψάμενος καί τῇ αὐτοῦ γνώμῃ συνεπα
νέσας, ταυτό τῇ ἁγιωσύνῃ σου προσήνεγκεν, ὥστε τῇ σαυτοῦ κρατίστῃ κα
ὑπερτάτῃ ἐξουσίᾳ τε καί αὐθεντίᾳ βεβαιωμένον εἰς φῶς ἐκδίδοσθαι.–
Εὐάρεστος ἔτυχε τῇ ἁγιωσύνῃ σου ὁ πόνος οὗτος, καί τῷ αὐτῷ καρδινάλει
ἐτείλω ἐπιμελεῖσθαι ὅπως ὑπό τινων ἐπισκόπων τε καί ἄλλων ἐν ταῖς τῶν Γρα
κῶν θρησκείαις ἠσκημένων, καί ἀμφοτέρων τῶν γλωττῶν ἐμπείρων, ἀναγιν
σκοιτο.– Τούτου δέ ἐπιμελῶς τε καί ταχέως διαπραχθέντος καί τῇ ἁγιωσ
νῃ [σου] παρά τοῦ αὐτοῦ λαμπροτάτου καρδινάλεως ἀπαγγελθέντος, οὐ
μόνον ἀξίαν τήνδε βίβλον ἐνόμισας τοῦ εἰς τήν τῶν Γραικῶν κοινήν ὠφέλ
αν τε καί ἐπιτηδειότητα τετυπῶσθαι, ἀλλά καί ἐλευθέρως τε καί μεγα
λοπρεπῶς εἰς ταυτό τήν δαπάνην ἐδωρήσω.– Διότι δέκα καί ὀκτώ μῆνας ἐν
Ρώμῃ διατρίψαντός μου, καταλιπόντος πάντας τά τῆς οἰκίας μου, ἡμέρας τ
καί νυκτάς ἀναγράψαντος, καί τάς τετυπωμένας σελίδας διορθώσαντος, τέλε
σύν τῇ τῆς ἁγιωσύνης σου ἰδίᾳ βοηθείᾳ καί τῇ τοῦ Θεοῦ χάριτι, τῷ ἔργῳ ἐπετέ
θη· ὥστε ἀληθῶς ἔξεστι πάσῃ τῇ Ἑλλάδι ἀγαλλιᾶσθαι, τῇ τε ἁγιωσύνῃ σου με
γίστας χάριτας ἔχειν. Ὥσπερ γάρ εἶ ποιμήν πάντων τῶν χριστιανῶν καί κεφαλή
πασῶν τῶν ἐκκλησιῶν, οὕτω τῶν Λατίνων τε καί Γραικῶν ἴσως ἐπιμελῇ καί διά τή
τῶν ψυχῶν σωτηρίαν καί πνευματικήν τροφήν, μήτε ἀγρυπνιῶν φείδῃ, μήτε μόχθ
μήτε δαπανῶν. Ἐγώ μέντοι τούς πόδας τῆς μακαριότητός σου εὐλαβέστατα κα
φιλήσας, τοῦ Θεοῦ μεγίστου τε καί βελτίστου συνεχῶς δεηθήσομαι, ὥστε σε τῇ αὐτ
ἁγίᾳ καθολικῇ ἐκκλησίᾳ μακρόβιον, ἀβλαβῆ καί εὐτυχῆ διασώζειν τε καί συντηρεῖ
ἐν τῇ Ρώμῃ, ἰουνίου μηνός πρώτῃ, αφπη'.
Τῆς μακαριότητός σου ταπεινότατος τε καί προθυμότατος δοῦλος Ἀντώνιος Ἀρκά
διος, ὁ τῆς Ζωλέντου ἀρχιπρεσβύτερος.–

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τῷ Πανιερωτάτῳ ἀρχιεπισκόπῳ Φιλαδελφείας Κυρίῳ Γαβριὴλῳ τῷ Σεβήρῳ Μανουὴλ ὁ Γλυνζούνιος εὖ πράττειν.-

Ἔδει μὲν ἡμᾶς, πανιερώτατε δέσποτα, τῆς τῶν ἡμετέρων προγόνων σπουδῆς μελέτην ποιεῖσθαι διηνεκῆ, καὶ τῶν ἐκείνων ἰχνῶν τε καὶ πράξεων ἐχομένους, καὶ τῆς κατὰ τὴν σοφίαν χρυσῆς ἐξηρτημένους ἐκείνης σειρᾶς, οὐκ ἀγενεῖς πατέρων ἀποδείκνυσθαι παῖδας· μᾶλλον δ' οἷα κλῆρον περίδοξον, ὥσπερ ἐκ διαδοχῆς ἐν ἑαυτοῖς διασώζειν τε καὶ εἰς τοὐπιμελὲς ὁσημέραι ἐπαυξάνειν ἐκείνων τὰ προτερήματα. Ἐπειδὴ δ' οὐκ οἶδ', ὅθεν οὕτω ξυμβάν, εἰς τοῦτ' ἀγνοίας φεῦ! ἐξώκειλε τὰ καθ' ἡμᾶς, ὥστε οὐχ ὅτι γε ἀφ' ἑαυτῶν τι μὴ δύνασθαι προσεξευρίσκειν τοῖς παρ' ἐκείνων τῶν φιλοθέων καὶ θείων ἀνδρῶν ἄριστα ἐκπονηθεῖσιν, ἀλλὰ δὴ καὶ τὰ ἐκείνων διαφθοράν τινα οὐ τὴν τυχοῦσαν ἐπιδέχεσθαι ὑπό τε τῆς τῶν χαλκογράφων ἀμαθείας καὶ τῆς τῶν τὴν ἐπιμέλειαν τῶν τύπων ἐφ' ἑαυτοὺς ἀραμένων ἀμελείας. τῶν προὔργου τι ἡμεῖς ἐν τούτῳ γοῦν τῷ δευτέρῳ μέρει διαπρᾶξαι ᾠήθημεν, ἄλλως τε καὶ παρὰ πολλῶν ἐπὶ τοῦτο προτραπέντες, εἴ γε δὴ ὅσης ἔχομεν δυνάμεως τε καὶ ἐπιμελείας ἐπικουρήσαιμεν τι τῷ πράγματι, τῷ τε γένει τῷ ἡμετέρῳ, τό γε εἰς ἡμᾶς ἧκον, διὰ τούτου χαρισόμενοι καὶ τὴν ἐς τὸ χεῖρον προχώρησιν τῶν τοῖς θείοις ἀνδράσι συγγεγραμμένων κωλύοντες τε καὶ διακόπτοντες.- Καὶ δή, μετὰ τὴν τῶν τοῦ προφητάνακτος ψαλμῶν ἔκδοσιν, καὶ τὴν τοῦ ἀνθολογίου, τό γε νῦν ἔχον, τό γε νῦν ἔχον, τοῖς φιλοθέοις προσεκδίδομεν, οὐδὲν ἧττον τῆς φθασάσης κἀν τούτῳ καταβαλλόμενοι τὴν προθυμίαν, ὡς ἂν τοῖς τε τὸν νοῦν τῶν ἐγκειμένων ἐπιζητοῦσι καὶ τοῖς κανονάρχαις αὐτοῖς εὐεντευκτοτέρα ἡ πραγματεία γένοιτο. Καὶ ταύτην τοιγαροῦν τὴν βίβλον τὸ προσῆκον ἤδη εἰληφυῖαν τέλος σοὶ καὶ αὖθις τῇ θείᾳ καὶ ἱερᾷ κεφαλῇ προσφωνῆσαι προῃρήμεθα, πανιερώτατε δέσποτα. Τίνι γὰρ ἄλλῳ πρεπωδέστερον τὰ τοιαῦτα τῶν λόγων τε καὶ πράξεων ἀνάθη καθιεροῖντο, ἀλλ' ἢ τῷ τῶν λόγων ἐφόρῳ καὶ πράξεων. Ταῦτ' οὖν ἀσμένως τε καὶ ἀσπασίως μὴ ἀπαξιώσειας ἀποδέξασθαι, χαριῇ γὰρ ἡμῖν τὰ μέγιστα, καὶ τὸν ἐν ἡμῖν ὁποιονοῦν ἐγκείμενον σπινθῆρα τοῦ καλοῦ πρὸς τὰ τοιαῦτα ἔρωτος ἐπανάψεις σφοδρότερον.- Ἐρρωμένην διαφυλάττοι ὁ Κύριος τὴν σὴν πανιερότητα ψυχῇ τε καὶ σώματι.- Ἐνετίῃσι, κατὰ τὸ αφπϛ' ἔτος ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας, ἀνθεστηριῶνος ἕκτη ἱσταμένου.-

Ἰστέον ὅτι καὶ αὕτη ἡ ἐπιστολὴ ὑπὸ τοῦ Μαξίμου πεφιλοπόνηται Μανουὴλῳ τῷ Γλυνζουνίῳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ